9 τῶν βατράχων, ὡς ἐτάξατο Φαραω. [9]ἐποίησεν δὲ κύριος καθάπερ
εἶπεν Μωυσῆς, καὶ ἐτελεύτησαν οἱ βάτραχοι ἐκ τῶν οἰκιῶν καὶ
10 ἐκ τῶν ἐπαύλεων καὶ ἐκ τῶν ἀγρῶν· [10]καὶ συνήγαγον αὐτοὺς
11 θιμωνιὰς θιμωνιάς, καὶ ὤζεσεν ἡ γῆ. [11]ἰδὼν δὲ Φαραω ὅτι γέ-
γονεν ἀνάψυξις, ἐβαρύνθη ἡ καρδία αὐτοῦ, καὶ οὐκ εἰσήκουσεν
αὐτῶν, καθάπερ ἐλάλησεν κύριος.
12 [12]Εἶπεν δὲ κύριος πρὸς Μωυσῆν Εἰπὸν Ααρων Ἔκτεινον τῇ
χειρὶ τὴν ῥάβδον σου καὶ πάταξον τὸ χῶμα τῆς γῆς, καὶ ἔσονται
σκνῖφες ἔν τε τοῖς ἀνθρώποις καὶ ἐν τοῖς τετράποσιν καὶ ἐν πά-
13 σῃ γῇ Αἰγύπτου. [13]ἐξέτεινεν οὖν Ααρων τῇ χειρὶ τὴν ῥάβδον καὶ
ἐπάταξεν τὸ χῶμα τῆς γῆς, καὶ ἐγένοντο οἱ σκνῖφες ἔν τε τοῖς
ἀνθρώποις καὶ ἐν τοῖς τετράποσιν, καὶ ἐν παντὶ χώματι τῆς γῆς
14 ἐγένοντο οἱ σκνῖφες ἐν πάσῃ γῇ Αἰγύπτου. [14]ἐποιήσαν δὲ ὡσαύ-
τως καὶ οἱ ἐπαοιδοὶ ταῖς φαρμακείαις αὐτῶν ἐξαγαγεῖν τὸν σκνῖ-
φα καὶ οὐκ ἠδύναντο. καὶ ἐγένοντο οἱ σκνῖφες ἐν τοῖς ἀνθρώποις
15 καὶ ἐν τοῖς τετράποσιν. [15]εἶπαν οὖν οἱ ἐπαοιδοὶ τῷ Φαραω Δά-
κτυλος θεοῦ ἐστιν τοῦτο. καὶ ἐσκληρύνθη ἡ καρδία Φαραω, καὶ οὐκ
εἰσήκουσεν αὐτῶν, καθάπερ ἐλάλησεν κύριος.
16 [16]Εἶπεν δὲ κύριος πρὸς Μωυσῆν Ὄρθρισον τὸ πρωὶ καὶ στῆθι
ἐναντίον Φαραω· καὶ ἰδοὺ αὐτὸς ἐξελεύσεται ἐπὶ τὸ ὕδωρ, καὶ
ἐρεῖς πρὸς αὐτόν Τάδε λέγει κύριος Ἐξαπόστειλον τὸν λαόν μου,
17 ἵνα μοι λατρεύσωσιν ἐν τῇ ἐρήμῳ· [17]ἐὰν δὲ μὴ βούλῃ ἐξαποστεῖ-
λαι τὸν λαόν μου, ἰδοὺ ἐγὼ ἐπαποστέλλω ἐπὶ σὲ καὶ ἐπὶ τοὺς
θεράποντάς σου καὶ ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τοὺς οἴκους ὑμῶν
κυνόμυιαν, καὶ πλησθήσονται αἱ οἰκίαι τῶν Αἰγυπτίων τῆς κυνο-
18 μυίης καὶ εἰς τὴν γῆν, ἐφ᾽ ἧς εἰσιν ἐπ᾽ αὐτῆς. [18]καὶ παραδοξάσω
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τὴν γῆν Γεσεμ, ἐφ᾽ ἧς ὁ λαός μου ἔπεστιν
ἐπ᾽ αὐτῆς, ἐφ᾽ ἧς οὐκ ἔσται ἐκεῖ ἡ κυνόμυια, ἵνα εἰδῇς ὅτι ἐγώ
19 εἰμι κύριος ὁ κύριος πάσης τῆς γῆς. [19]καὶ δώσω διαστολὴν ἀνὰ
μέσον τοῦ ἐμοῦ λαοῦ καὶ ἀνὰ μέσον τοῦ σοῦ λαοῦ· ἐν δὲ τῇ
20 αὔριον ἔσται τὸ σημεῖον τοῦτο ἐπὶ τῆς γῆς. [20]ἐποίησεν δὲ κύριος
οὕτως, καὶ παρεγένετο ἡ κυνόμυια πλῆθος εἰς τοὺς οἴκους Φαραω
καὶ εἰς τοὺς οἴκους τῶν θεραπόντων αὐτοῦ καὶ εἰς πᾶσαν τὴν
21 γῆν Αἰγύπτου, καὶ ἐξωλεθρεύθη ἡ γῆ ἀπὸ τῆς κυνομυίης. [21]ἐκά-
λεσεν δὲ Φαραω Μωυσῆν καὶ Ααρων λέγων Ἐλθόντες θύσατε τῷ
22 θεῷ ὑμῶν ἐν τῇ γῇ. [22]καὶ εἶπεν Μωυσῆς Οὐ δυνατὸν γενέσθαι
οὕτως· τὰ γὰρ βδελύγματα τῶν Αἰγυπτίων θύσομεν κυρίῳ τῷ
θεῷ ἡμῶν· ἐὰν γὰρ θύσωμεν τὰ βδελύγματα τῶν Αἰγυπτίων ἐναν-

13 τε > B | εν παση γη αιγ. > B* || 14 fin.] + και εν παντι χωματι της γης εγενοντο οι σκνιπες Bc: ex 13 || 16 και $2^0$ > A | λατρευσωσιν] -ευση A || 17 επαποστελλω] εξαποστ. A || 18 ης $2^0$] η A | ειμι > A | κυριος ult. B†] θεος A || 19 το σημειον > B || 20 την > A || 21 τω θεω] pr. κυριω A